Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

I. Quinam Romanorum & Alexandrinorum Episcopi fuerint imperante Trajano.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

# ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ,

## Ἐκκλησιαστικῆς ἱστορίας Λόγος δʹ.

# EVSEBII PAMPHILI ECCLESIASTICÆ HISTORIÆ LIBER QUARTUS

### ΚΕΦΑΛΑΙΟΝ Αʹ.

Τίνες ἐπὶ τῆς Τραϊανοῦ βασιλείας Ῥωμαίων καὶ Ἀλεξανδρέων Ἐπίσκοποι γεγόνασιν.

Ἀμφὶ δὲ τὸ δωδέκατον τῆς Τραϊανοῦ βασιλείας ἔτος, ὁ μικρῷ πρόσθεν ἡμῖν τῆς ἐν Ἀλεξανδρείᾳ παροικίας δηλωθεὶς Ἐπίσκοπος τὴν ζωὴν μεταλλάττει· τέταρτος δὲ ἀπὸ τῶν Ἀποστόλων τὴν τῶν αὐτόθι λειτουργίαν κληροῦται Πρῖμος. ἐν τούτῳ καὶ Ἀλέξανδρος ἐπὶ Ῥώμης ὄγδοον ἔτος ἀποπληρώσαντος Εὐαρέστου, πέμπτην ἀπὸ Πέτρου καὶ Παύλου κατάγων διαδοχὴν, τὴν Ἐπισκοπὴν ἀπολαμβάνει.

### Caput I.

*Quinam Romanorum & Alexandrinorum Episcopi fuerint imperante Trajano.*

A CIRCA duodecimum annum Imperii Trajani Cerdo Alexandrinæ Ecclesiæ Episcopus, cujus paulò suprà mentionem fecimus, abiit è vita; quartusque ab Apostolis ministerium ejus Ecclesiæ sortitus est Primus. Eodem tempore cùm Evarestus annos octo in Pontificatu exegisset, Romæ Episcopatum suscepit Alexander, quintum à Petro & Paulo successionis obtinens locum.

### ΚΕΦΑΛΑΙΟΝ Βʹ.

Ὁποῖα Ἰουδαῖοι κατ᾽ αὐτὸν πεπόνθασιν.

Καὶ τὰ μὲν τῆς τοῦ Σωτῆρος ἡμῶν διδασκαλίας τε καὶ ἐκκλησίας, ὁσημέραι ἀνθοῦντα ἐπὶ μεῖζον ἐχώρει προκοπῆς· τὰ δὲ τῆς Ἰουδαίων συμφορᾶς, κακοῖς ἐπαλλήλοις ἤκμαζεν. ἤδη γοῦν τοῦ αὐτοκράτορος εἰς ἐνιαυτὸν ὀκτωκαιδέκατον ἐλαύνοντος, αὖθις Ἰουδαίων κίνησις ἐπαναστᾶσα, πάμπολυ πλῆθος αὐτῶν διέφθειρεν. ἔν τε γὰρ Ἀλεξανδρείᾳ καὶ τῇ λοιπῇ Αἰγύπτῳ καὶ προσέτι κατὰ Κυρήνην, ὥσπερ ὑπὸ πνεύματος δεινοῦ τινος καὶ στασιώδους ἀναρριπισθέντες, ὥρμηντο πρὸς τοὺς συνοίκους Ἕλληνας στασιάζειν· αὐξήσαντές τε εἰς μέγα τὴν στάσιν, τῷ ἐπιόντι ἐνιαυτῷ πόλεμον οὐ σμικρὸν συνῆψαν, ἡγουμένου τηνικαῦτα Λούππου τῆς ἁπάσης Αἰγύπτου. καὶ δὴ ἐν τῇ πρώτῃ συμβολῇ ἐπικρατῆσαι αὐτοὺς συνέβη τῶν Ἑλλήνων· οἳ καὶ καταφυγόντες εἰς τὴν Ἀλεξάνδρειαν, τοὺς ἐν τῇ πόλει Ἰουδαίους ἐζώγρησάν τε καὶ ἀπέκτειναν. τῆς δὲ παρὰ τούτων συμμαχίας

### Caput II.

*Qualia Judæi sub eodem Imperatore perpessi sint.*

B AC Servatoris quidem nostri doctrina atque Ecclesia magis ac magis in dies efflorescens, continuis incrementis augebatur. Judæorum autem calamitates novis subinde cladibus cumulabantur. Nam cum Imperator annum jam Imperii octavum decimum attigisset, rursus Judæorum tumultus exortus, maximam gentis illius multitudinem extinxit. Quippe Alexandriæ & per totam Ægyptum ac Cyrenaïcam, C veluti à violento quodam & seditioso Dæmone exagitati Judæi, adversus Græcos & Gentiles qui unà cum ipsis habitabant, tumultum excitare cœperunt. Progressa deinde in majus seditione, sequenti anno bellum non mediocre conflarunt, Lupo tunc temporis totius Ægypti præfecturam gerente. Et primo quidem conflictu fortè Judæi Gentiles superaverant. Qui mox Alexandriam confugientes, Judæos qui in ea urbe degebant, captos interfecerunt. Horum igitur au-

Huc refer Niceph. c.22.l.3.